Ὑπόθεσις τῆς τοῦ Αἰσχύλου Τραγῳδίας ἡ ἐπιγράφεται

ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ. (rectius ΘΗΒΑΣ Ran. 1048.)

Ο Λαίος τοῦ Λαβδάκου υἱὸς ὢν, ἐβασίλευεν ἐν Θήβαις, γυναῖκα κεκτημένος Ιοκάςην, τὴν θυγατέρα τοῦ Μενοικέως· ᾗ συνελθεῖν καὶ τέκνα ποιῆσαι οὐκ ἐτόλμα, τὰς τοῦ Πέλοπος δεδιὼς ἀράς. Φασὶ γὰρ ὅτι τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον, ὃς ἦν αὐτῷ ἐξ ἄλλης γυναικὸς, καὶ ουκ ἐκ τῆς θυγατρὸς τοῦ Οἰνομάου Ιπποδαμείας, ὁ Λάϊος ἥρπασεν, ἐρασθεὶς αὐτοῦ, καὶ αὐτῷ συνεγένετο, καὶ πρῶτος ἐν ἀνθρώποις τὴν ἀῤῥενοφθορίαν ὑπέδειξε, καθώς περ δὲ καὶ ὁ Ζεὺς ἐν θεοῖς, τὸν Γανυμήδην ἁρπάσας. ὅπερ ὁ Πέλοψ μαθὼν, τὸν Λάϊον κατηράσατο ἐξ οἰκείας Φονευθῆναι γονῆς. ἐπεὶ γοῦν ὁ Λάϊος δι' ὃν εἴρηται τρόπον ἄπαις ἤδη παρήκμαζεν, εἰς τὸ τοῦ Απόλλωνος μαντεῖον παρεγένετο, ἐρωτήσων εἰ δέοι τεκνώσασθαι· ἐξήνεγκε δὲ αὐτῷ τὸ χρηςήριον,